τοῦδ᾽ ἄρ᾽ ἀριφραδέως ἐρέω τύπον ἠδὲ φυήν τε,
φάρμακά τ᾽ ἀλθήεντα, καὶ οὕνεκεν Ἡμιτριταῖον
τόνδε πυριφλεγέθοντ᾽ ὀλοὸν πυρετὸν καλέεσκε
πάμπρωθ᾽ Ἱπποκράτης Ἰητήρων ὄχ᾽ ἄριστος.
ἔμπεδα δὲ πρότερον σημήϊα πάντ᾽ ἀγορεύσω
οἷς ὁ τριταίῳ ἔοικε, καὶ οἷς διακέκριτ᾽ ἐκείνου.
ὃς διεχὴς τελέθων διαλείμμασιν ἠδὲ παρῆμαρ (ε)
αἴνυται ἡμερίους ξὺν ῥίγεϊ ὀκρυόεντι·
τῷ, θερμωλὴ ἔπειτα ῥέα ζαθερὴς ἐπιθρώσκει
δίψῃ ἅμ᾽ ἀζαλέῃ· μετὰ δ᾽ ἔσπεται ὕστατος ἱδρώς,
ὃς πυρετοῖο μένος θ᾽ ἑτερήμερον αὐτίκα λῦσε.
διπλόος ὃς δὲ κέκλητ᾽ ἤτοι καὶ ὅγ᾽ ἆλτο κατῆμαρ (ζ)
ῥίγεϊ θερμωλῇ θ᾽ ἑτερήμερον αἰὲν ὁμοίοις,
ἀλλά γε ῥηϊτέροισι μινυνθαδίοισί τε μᾶλλον.

γ. Τοῖο δ᾽ ἀεξομένοιο παραίσια σήματα πάντα
ἡμερίοις μελέοισι φαείνεται· ἤματι καὶ γὰρ
ἑσπομένῳ θᾶσσον δὴ ἐπέμπεσεν, οὐδ᾽ ἔτ᾽ ἐπῶρσεν
ἄλγε᾽ ὅδε χθιζοῖσιν ὁμόϊα, πουλὺ δ᾽ ἀνιγρά (η).
πρὶν μὲν γὰρ λωφῆσαι, ἢ ἐς λύσιν ἐλθέμεν αὔτως
προφραδίην ἤϊξεν ἐπάλμενος ἤματι τῷδε,
ἠοῖος δ᾽ ὁ χθιζ᾽ ἐπιδείελος ἔνθορε μᾶλλον,
ἄψορρόν τ᾽ ἐπόρουσε φέρων ξυμπτώσιας αἰνάς,

χθι-

---

(ε) Γαλην. περὶ διαφορ. πυρετ. Β. γ. κρίσεων Β. γ. (ζ) περὶ κρίσ. Β. θ. (η) ἐπιδημ. Α. β. Γαλην. ὑπομνημ. ε. ἐπιδημ. Α. περὶ τῶν ἐν νόσοις καιρ. θ. τυπ. δ.